Ευρωπαϊκή Ένωση
Ευρωπαϊκό Κοινωνικό Ταμείο
ΕΠΙΧΕΙΡΗΣΙΑΚΟ ΠΡΟΓΡΑΜΜΑ
ΕΚΠΑΙΔΕΥΣΗ ΚΑΙ ΔΙΑ ΒΙΟΥ ΜΑΘΗΣΗ
επένδυση στην κοινωνία της γνώσης
ΥΠΟΥΡΓΕΙΟ ΠΑΙΔΕΙΑΣ ΚΑΙ ΘΡΗΣΚΕΥΜΑΤΩΝ
ΕΙΔΙΚΗ ΥΠΗΡΕΣΙΑ ΔΙΑΧΕΙΡΙΣΗΣ
ΕΣΠΑ 2007-2013
πρόγραμμα για την ανάπτυξη
ΕΥΡΩΠΑΪΚΟ ΚΟΙΝΩΝΙΚΟ ΤΑΜΕΙΟ
Με τη συγχρηματοδότηση της Ελλάδας και της Ευρωπαϊκής Ένωσης

ἄκουε πάντα συνετῶς, καὶ χώριζε τὸ κρεῖττον.
μὴ προλαμβάνῃ ἡ γλῶσσά σου ποτὲ τὸν λογισμόν σου.
πολλοὺς γὰρ ἐκ συναρπαγῆς παρέδωκεν ἡ γλῶσσα,
καὶ διὰ τοῦτο πρόσεχε πρῶτον καλὰ καὶ σκόπει,
καὶ τότε λάλει ταπεινὰ καὶ μεμελετημένα.
ἡ προσευχὴ πρὸς τὸν θεὸν μεγάλως οἰκειοῦται·
ὁπόταν γὰρ ἡ προσευχὴ γίνετ’ ἀπὸ καρδίας,
ὥσπερ ὁποῦ συνομιλεῖ τὸν κύριν του πολλάκις,
θαῤῥεῖ, παῤῥησιάζεται, ὡς ἔθος πρὸς ἐκεῖνον,
οὕτως ὁ προσευχόμενος καὶ ψάλλων κατὰ μόνας
λαμβάνει χάριν ἐκ θεοῦ, εὑρίσκει παῤῥησίαν.
λοιπὸν εἰς τὴν καρδίαν σου θές το, παιδί μου, τοῦτο,
καὶ ὅταν εὕρῃς ἄδειαν, καὶ ψάλλε καὶ προσεύχου.
πάντα γὰρ τὰ φαινόμενα καὶ τὰ λαμπρὰ τοῦ κόσμου
οὐκ ἔχουσιν ὑπόληψιν οὐδὲ φιλοτιμίαν·
τίποτ’ οὐκ ἔφερεν κανεὶς ἐκ τὸν παρόντα κόσμον·
γυμνοὶ γὰρ ἐγεννήθημεν, γυμνοὶ πάλιν θανοῦμε,
καὶ τοῦ γυμνοῦ πτωχότεροι· παιδίν μου, τί κερδαίνεις
πλοῦτος ζωῆς καὶ χρήματα, ματαιοτάτην δόξαν;
[τοῦ κόσμου τούτου ἡ ζωὴ, ταύτην γὰρ πάντα φέρει
τρόπος καλὸς, ἐνάρετος καὶ καθαρὸς τοῦ βίου]
ἦθος σεμνὸν καὶ ταπεινὸν καὶ μετριοφροσύνη,
οὔτε ὁ πλοῦτος ἀληθῶς, οὐ δόξα ἐπαινεῖται,
αὔτ’ ἔχουν καὶ τὸν ἔπαινον, αὔτ’ ἔχουν καὶ τὸν ψόγον.
γίνωσκε, τιμιώτερον τῆς ἀρετῆς οὐκ ἔνι·
τὸ κάλλος γὰρ ἠχρείωσεν ἡ νόσος καὶ τὸ γῆρας,
ἡ δ’ ἀρετὴ, ὅσον γηρᾷ, γίνεται λαμπροτέρα
καὶ κέρδος ἔχει δαψιλὸν τὴν ἄνω βασιλείαν.

Wilhelm Wagner (επιμ.), *Carmina graeca medii aevi*, Teubner, Λειψία 1874, σ. 1-27.